eul_wid: cbc-aa

*Εὔηνος ὁ Πάριος* · Euenus of Paros

# On Wisdom and Moderation

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Ποίησις* Poetry
**Format:** *Ἔμμετρος* Verse

book 1.1 πολλοῖς δ’ ἀντιλέγειν (μέν)[ln_1]ἔθος
book 1.2 περὶ παντὸς ὁμοίως, [para]ὀρθῶς δ’ ἀντιλέγειν, οὐκέτι
book 1.3 τοῦτ’ ἐν ἔθει. καὶ πρὸς μὲν
book 1.4 τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός· [para]“σοὶ μὲν
book 1.5 ταῦτα δοκοῦντ’ ἔστω, ἐμοὶ δὲ τάδε.”[ln_5]τοὺς ξυνετοὺς δ’ ἄν
book 1.6 τις
book 1.7 πείσειε τάχιστα λέγων εὖ, οἵπερ καὶ ῥήιστης εἰσὶ διδασκαλίης.
book 2.1 Βάκχου μέτρον ἄριστον ὃ μὴ πολὺ μηδ’ ἐλάχιστον· [para]ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης. χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος· [para]τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος. [ln_5]εἰ δὲ πολὺς
book 2.2 πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας, [para]βαπτίζει δ’ ὕπνωι, γείτονι
book 2.3 τοῦ θανάτου.
book 3.1 ἡγοῦμαι
book 3.2 σοφίης εἶναι μέρος οὐκ ἐλάχιστον [para]ὀρθῶς γινώσκειν οἷος ἕκαστος ἀνήρ.
book 4.1 πρὸς
book 4.2 σοφίηι μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστιν· [para]χωρὶς δὲ βλαβερή, καὶ κακότητα φέρει.
book 5 πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν [para]κρυπτόμενον· μανίης πολὺ χειρότερον.
book 6.1 ἢ δέος ἢ λύπη
book 6.2 παῖς
book 6.3 πατρὶ πάντα
book 6.4 χρόνον.
book 7 ἥτις κερδαίνους’ οὐδὲν ὅμως ἀδικεῖ.
book 8.1 πᾶν γὰρ ἀναγκαῖον
book 8.2 πρᾶγμ’ ἀνιηρὸν ἔφυ.
book 9.1 φημὶ πολυχρόνιον μελέτην ἔμεναι φίλε, καὶ δὴ ταύτην ἀνθρώποισι

book 9.2 τελευτῶσαν φύσιν εἶναι.
book 9a.1 σοφώτατόν
book 9a.2 τοι κἀμαθέστατον
book 9a.3 χρόνος.

Eulogikon public reading copy · View original HTML at eulogikon.org